# De fide contra Arianos (fragmenta)

63 Ἀρχὴ γάρ τοι τῶν καλλίστων τῆς δικαιοσύνης ὁδῶν γεγένηται ἡμῖν ὁ ἄνθρωπος τοῦ Χριστοῦ, τοῖς κρείττοσι τῶν ἐπιτηδευμάτων προσάγων ἡμᾶς. Σεμνοπρεπῶς προσαρμόττει τῷ Πνεύματι, ξεναγεῖ εἰς τὸν παράδεισον, εἰς τὴν οἰκείαν ἀποκαθίστησι νομήν. Διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. Τῷ μὲν οὖν ὀνόματι τῆς ὁδοῦ τὴν κατὰ ἄνθρωπον δηλοῖ περιβολὴν, ὅπερ ἔστι τῶν σωματικῶν καὶ τῶν ὁρατῶν· γῆς γάρ τι μόριον ἡ ὁδὸς καὶ αἰσθητὸν ἔδαφος καθέστηκε· τὸ δὲ ὄνομα τῆς ἀληθείας <καὶ> τῆς ζωῆς τὴν τοῦ Πατρὸς φύσιν· ἡ γὰρ ἀλήθεια πρᾶγμά τι νοητὸν οὔτε ὄμμασιν οὔτε ἁφῇ ὑποπίπτον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.